τονικός; ἢ οὔ; ΓΟΡ. Ναί. ΣΩ. Οὐκοῦν καὶ ὁ τὰ μουσικὰ, μουσικός; ΓΟΡ. Ναί. ΣΩ. Καὶ ὁ τὰ ἰατρικὰ, ἰατρικός o); καὶ τἄλλα οὕτω κατὰ τὸν αὐτὸν λόγον, ὁ μεμαθηκὼς ἕκαστα, τοιοῦτός ἐστιν οἷον ἕκαστον ἡ ἐπιστήμη p) ἀπεργάζεται; ΓΟΡ. Πάνυγε. ΣΩ. Οὐκοῦν κατὰ τοῦτον τὸν λόγον καὶ ὁ τὰ δίκαια μεμαθηκὼς q), δίκαιος. ΓΟΡ. Πάντως δήπου. ΣΩ. Ὁ δὲ δίκαιος δίκαια που πράττει; ΓΟΡ. Ναί. ΣΩ. Οὐκοῦν ἀνάγκη τὸν ῥητορικὸν δίκαιον εἶναι, τὸν δὲ δίκαιον βούλεσθαι δίκαια πράττειν r). ΓΟΡ. Φαίνεταί γε. ΣΩ. Οὐδέποτε ἄρα βουλήσεται ὅγε δίκαιος ἀδικεῖν. ΓΟΡ. Ἀνάγκη. ΣΩ. Τὸν δὲ ῥητορικὸν ἀνάγκη ἐκ τοῦ λόγου s) δίκαιον εἶναι. ΓΟΡ. Ναί. ΣΩ. Οὐδέποτε ἄρα βουλήσεται ὁ ῥητορικὸς ἀδικεῖν.
ΓΟΡ. Οὐ φαίνεταί γε. ΣΩ. Μέμνησαι οὖν λέγων a) 15

ὀλίγῳ

o) Cod. Aug. ἰατρὸς. bene. Statim Cod. vterque τὰ ἄλλα pro τἄλλα. Post pro ἕκαστα in Cod. Aug. vitiose erat scriptum ἔσται.

p) Cod. vterque ἡ ἐπιστήμη ἕκαστον.

q) Cod. Meerm. μεμαθηκός. Sed alia manus correxerat ώς.

r) Haec verba Socratis laudat Quinctil. Institt. Oratt. L. 2. p. 124. Vol. I. ed. Bipont. vbi est πράσσειν pro πράττειν, et ante πράττειν inseritur καί. A Codice vtroque aberat βούλεσθαι.

s) Bas. 2. inter verba ῥητορικὸν et ἀνάγκη indit οὐκ et ante λόγου Pronomen σοῦ, ita vt his verbis interrogatio insit. Stephanus contendit, se in Codice quodam sic etiam scriptum offendisse. Editores Bipontini σοῦ volunt in ordinem recipi, aut legi ἐκ τούτου τοῦ λόγου. Sed τοῦ est pro τούτου.

a) Vid. Ind. v. Μιμνήσκομαι. Caeterum spectat Socrates ea, quae Gorgias ante Sect. II. dixerat.